Ἄλλων δὲ μελῶν γένος ἦν ἐν ταῖς τῆς Λέσβου νήσου πόλεσιν. Ἐκεῖ ἀθάνατον δόξαν ἐκτήσαντο ὁ Ἀλκαῖος καὶ ἡ Σαπφώ. Ἐκεῖνος δεινῶς τὴν τῶν τυράννων ὕβριν ἐμέμψατο, ἐν δὲ ἄλλοις μέλεσιν ὕμνησε θεοὺς καὶ τὸν οἶνον καὶ τὸν ἔρωτα. Εὐκλεᾶ ἐστι καὶ τὰ μέλη, ἃ ἐποίησεν ἡ Σαπφώ, γυνὴ εὐγενὴς καὶ εὐγενῶν παρθένων διδάσκαλος.

Χορικὰ δὲ μέλη ἐποίησαν ἄλλοι ὥσπερ Ἀρίων καὶ Πίνδαρος. Ἐν γὰρ ταῖς ἑορταῖς, αἳ τοῖς θεοῖς καὶ τοῖς Ὀλυμπιονίκαις ἤγοντο, χοροὶ ᾖδον, καὶ πολλάκις δύο ἢ τρεῖς χοροὶ ἀλλήλοις ἠγωνίζοντο περὶ ἄθλου.

Ὅταν περὶ τῶν ὑστέρων χρόνων διαλεγώμεθα, καὶ περὶ τῆς Ἑλληνικῆς ποιήσεως ἔτι πλέον ἀκούσεσθε. Ὅταν δὲ ταῦτα ἀκούσητε, τοὺς Ἕλληνας ἔτι μᾶλλον θαυμάσετε.

Сентенции

1. Μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα. 2. Πολλῶν ὁ καιρὸς γίγνεται διδάσκαλος.

Лексика

ἐάν + con. (< εἰ ἄν) если
ἡ **φύσις**, εως природа (*ср. физика, физиология*)
ἡ **δόσις**, εως даяние, дар (*ср. доза*)
ἡ **ποίησις**, εως приготовление, созидание, творчество (*ср. поэзия*)
παλαιός, ά, όν древний, старый (*ср. палеография*)
στρατεύομαι идти в поход
ἡ στάσις, εως восстание
ἡ **μετάστασις**, εως изменение (*ср. метастаза*)
τὸ μέλος, ους песня (*ср. мелодия*)
ἡ **πόλις**, εως полис, город (*ср. политика, полиция*)
ἀθάνατος, ον бессмертный
ἡ ὕβρις, εως дерзость
ὑμνέω воспевать (*ср. гимн*)
ὁ ἔρως, ωτος любовь, Эрот (*ср. эротика*)
ὁ, ἡ διδάσκαλος, ου учитель, учительница (*ср. дидактика*)
ὁ χορός, οῦ хоровод, хор
χορικός, ή, όν хоровой
ὅταν + con. когда (бы ни)
τὸ ἥμισυ, ἡμίσεος половина

Из Нового Завета

Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. (1 Тим. 4, 13)

Ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δὲ τῇ συνηθείᾳ ἕως ἄρτι τοῦ εἰδώλου ὡς εἰδωλόθυτον ἐσθίουσιν, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται. (1 Кор. 8, 7)

Ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε... (1 Кор. 11, 26)

Ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ᾽ ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. (Гал. 1, 8)

προσέχω посвящать себя
ἡ ἀνάγνωσις, εως чтение
ἡ παράκλησις, εως утешение
ἡ διδασκαλία, ας учение
ἡ συνήθεια, ας обычай
ἄρτι ныне
τὸ εἴδωλον, ου идол
τὸ εἰδωλόθυτον, ου идоложертвенное
ἐσθίω есть
ἡ συνείδησις, εως совесть
ἀσθενής, ές слабый

μολύνω пачкать
ὁσάκις всякий раз как
πίνω пить
καταγγέλλω возвещать
ἔστω да будет

Из богослужения

Ἑσπερινὴν προσκύνησιν προσφέρομέν Σοι τῷ ἀνεσπέρῳ φωτί, τῷ ἐπὶ τέλει τῶν αἰώνων ὡς ἐν ἐσόπτρῳ δὰ σαρκὸς λάμψαντι τῷ κόσμῳ… (Стихира воскресная на «Господи, воззвах…», глас 5)

ἑσπερινός, ή, όν вечерний
ἡ προσκύνησις, εως поклонение
ἀνεσπέρος, α, ον невечерний
τὸ τέλος, εος конец
τὸ ἔσοπτρον, ου зеркало
ἡ σάρξ, σαρκός плоть
λάμπω светить

Упражнения

I. Просклоняйте: ἡ ολίγη δόσις – ἡ εὐδαίμων πόλις.

II. Просклоняйте параллельно: ἡ τυραννίς и ἡ φύσις.

III. Определите для каждого слова формы именительного и родительного падежей единственного числа и переведите: ἔριν – στάσιν – σώμασιν – ἅπασιν – πέμψουσιν – διώξασιν – μέλεσιν – ὕβριν – μετάστασιν – ἀγῶσιν – Ἄραψιν – εὐδαίμοσιν – γείτοσιν.

IV. Переведите: 1. Ὁ πατὴρ πρὸς τὸν παῖδα· "Ἐάν, – ἔφη, – ἐν ὀλίγῳ χρόνῳ πολλοὶ ἀθληταὶ εἰς τὰ Ὀλύμπια ἔρχωνται, καὶ σὺ μετ᾽ ἐμοῦ ἐνταῦθα πορεύσῃ. 2. Ἀεὶ ἥδομαι, ὅταν σὺ καὶ οἱ ἄλλοι νεανίαι γυμνάζησθε. 3. Ἐὰν τὸ σῶμα εὖ γυμνάσῃς, καὶ σοὶ τοῦ ἀγῶνος μετέχειν ἐξέσται. 4. Ἐὰν τῶν τοῦ ἀγῶνος νόμων ἀμελήσῃς, ἆθλον οὐ δέξῃ. 5. Ἐὰν μὴ τὰ προσήκοντα ποιήσῃς, πάντες σε μέμψονται. 6. Πρῶτον δέ, ὅταν εἰς τὴν Ὀλυμπίαν ἥκῃς, θῦσον ἐπὶ τῷ τοῦ Διὸς βωμῷ. 7. Ὅταν δὲ νικήσῃς καὶ τὸν ἐλαίας στέφανον δέξῃ, οἱ πολῖταί σε θεραπεύσουσιν ὡς ἥρω".

V. Переведите следующие имена существительные и для каждого из них назовите глагол, от которого оно образовано: ποίησις – ἀπόκρισις – ἀνάλυσις – ἀνάβασις – μίμησις – κτίσις – κάθαρσις – παιδεία – πορεία – θεραπεία – δουλεία – στρατεία – κτῆμα – γράμμα – πρᾶγμα – εὕρημα – ψήφισμα.

УРОК 27

III склонение: существительные на -εύς; существительное ἡ ναῦς. Некоторые сильные аористы.

III склонение существительных. Существительные на -εύς

К этой группе относятся существительные только мужского рода. Они имеют ударение на конечном слоге (oxytona), и сигматический именительный падеж единственного числа, например: ὁ βασιλεύς *царь*. Конечный дифтонг ευ- имеется только в именительном (ὁ βασιλεύς) и звательном падеже единственного числа, представляющем чистую основу и имеющем конечное облеченное ударение (ὦ βασιλεῦ), а также в дательном падеже множественного числа: τοῖς βασιλεῦσι(ν). В прочих падежах основа оканчивается на ε-. В родительном падеже единственного числа употребляется окончание -ως вместо -ος:

	Singularis	Pluralis
Nom.	ὁ βασιλεύς	οἱ βασιλεῖς
Gen.	τοῦ βασιλέως	τῶν βασιλέων
Dat.	τῷ βασιλεῖ	τοῖς βασιλεῦσι(ν)
Acc.	τὸν βασιλέα	τοὺς βασιλέας
Voc.	(ὦ) βασιλεῦ	(ὦ) βασιλεῖς

NB В винительном падеже обоих чисел в окончаниях -ᾱ: τὸν βασιλέᾱ, τοὺς βασιλέᾱς.

Суффикс -εύς обычно указывает на действующее лицо, должность (nomina agentis): ὁ ἱππεύς *всадник*, ὁ συγγραφεύς *писатель*, ὁ βασιλεύς *царь*, ὁ ἱερεύς *жрец*.

Существительное ἡ ναῦς

В III склонении представлены также единичные слова с основой на дифтонг -αυ. Наиболее употребительным является существительное ἡ ναῦς *корабль*:

	Singularis	Pluralis
Nom.	ἡ ναῦς	αἱ νῆες
Gen.	τῆς νεώς	τῶν νεῶν
Dat.	τῇ νηΐ	ταῖς ναυσί(ν)
Acc.	τὴν ναῦν	τὰς ναῦς
Voc.	(ὦ) ναῦ	(ὦ) νῆες

Некоторые сильные аористы

Кроме уже рассмотренного сигматического (слабого, первого) аориста (см. урок 15), в древнегреческом языке представлен и асигматический (сильный, второй) аорист. Он образуется иначе: без использования суффикса, но от особой основы, отличной от основы презенса (иногда даже супплетивной, то есть образованной от другого корня). Глаголы, образующие второй аорист, принято заучивать наизусть. К основе второго аориста прибавляются личные окончания или окончания именных форм глагола при помощи соединительных гласных -ο- и -ε-. В индикативе аориста, как обычно у исторических времен, присутствует аугмент. Так, например, глагол μανθάνω *учиться, узнавать* (основа аориста μαθ-) спрягается в аористе следующим образом:

Aoristus indicativi

Activum

Лицо	Singularis	Pluralis
1	ἔμαθ-ο-ν	ἐμάθ-ο-μεν
2	ἔμαθ-ε-ς	ἐμάθ-ε-τε
3	ἔμαθ-ε(ν)	ἔμαθ-ο-ν

Medium

Лицо	Singularis	Pluralis
1	ἐμαθ-ό-μην	ἐμαθ-ό-μεθα
2	ἐμάθ-ου	ἐμάθ-ε-σθε
3	ἐμάθ-ε-το	ἐμάθ-ο-ντο

1 2 Зак. 3923

Aoristus coniunctivi

Activum

Лицо	Singularis	Pluralis
1	μάθ-ω	μάθ-ω-μεν
2	μάθ-ης	μάθ-η-τε
3	μάθ-η	μάθ-ω-σι(ν)

Medium

Лицо	Singularis	Pluralis
1	μάθ-ω-μαι	μαθ-ώ-μεθα
2	μάθ-η	μάθ-η-σθε
3	μάθ-η-ται	μάθ-ω-νται

Aoristus optativi

Activum

Лицо	Singularis	Pluralis
1	μάθ-οι-μι	μάθ-οι-μεν
2	μάθ-οι-ς	μάθ-οι-τε
3	μάθ-οι	μάθ-οι-εν

Medium

Лицо	Singularis	Pluralis
1	μαθ-οί-μην	μαθ-οί-μεθα
2	μάθ-οι-ο	μάθ-οι-σθε
3	μάθ-οι-το	μάθ-οι-ντο

Infinitivus aoristi activi – μαθ-εῖν

Imperativus aoristi activi
Sing.2 *л.* μάθ-ε
3 *л.* μαθ-έ-τω
Pl. 2 *л.* μάθ-ε-τε
3 *л.* μαθ-ό-ντων

Participium aoristi activi
μαθ-ών (μαθ-ό-ντος)
μαθ-οῦσα (μαθ-ούσης)
μαθόν (μαθ-ό-ντος)

Infinitivus aoristi medii – μαθ-έ-σθαι

Imperativus aoristi medii
Sing. 2 *л.* μαθ-οῦ
3 *л.* μαθ-έ-σθω
Pl. 2 *л.* μάθ-ε-σθε
3 *л.* μαθ-έ-σθων

Participium aoristi medii
μαθ-ό-μενος
μαθ-ο-μένη
μαθ-ό-μενον

Приведем в алфавитном порядке примеры глаголов с сильными аористами, встречающимися в данном уроке (их необходимо заучить наизусть):

ἀποθνήσκω *умирать* – ἀπέθανον,
γίγνομαι *возникать, становиться* – ἐγενόμην,
ἔρχομαι *идти, приходить* – ἦλθον,
εὑρίσκω *находить* – ηὗρον (или εὗρον),
λέγω *говорить* – εἶπον,
μανθάνω *учиться, узнавать* – ἔμαθον,
πάσχω *терпеть* – ἔπαθον,
προλέγω *предсказывать* – προεῖπον,
τρέχω *бежать* – ἔδραμον,
φεύγω *бежать, избегать* – ἔφυγον.

Рождение науки

Ἐν παλαιοῖς ἤδη χρόνοις οἱ τῆς Αἰγύπτου βασιλεῖς τὰς πυραμίδας ἱδρύεσθαι ἐκέλευσαν, καὶ ἐνίων βασιλέων πυραμίδες ἔτι καὶ νῦν θαυμάζονται ὑπὸ τῶν πορευομένων. Ἀναγκαῖον γὰρ ἐφαίνετο εἶναι τὸν βασιλέα ἀποθανόντα ἔχειν μεγίστην οἴκησιν καὶ ἀσφαλῆ τάφον. Τοῖς δὲ βασιλεῦσιν οὐ μόνον πολλοὶ δοῦλοι καὶ ἐργάται ἦσαν, ἀλλὰ καὶ χρήσιμοι ἀριθμητικοὶ καὶ γεωμέτραι καὶ τέκτονες. Οἱ δὲ Αἰγύπτιοι ἱερεῖς καὶ τῆς ἰατρικῆς τέχνης ἐπιστήμονες ἦσαν. Τοὺς Βαβυλωνίους ἱερέας τὰς τῶν ἀστέρων ὁδοὺς ἀκριβῶς ἐξετάσαι καὶ ἀναγράψαι οἱ Ἑλληνικοὶ συγγραφεῖς λέγουσιν.

Πολλὰ δὲ παρὰ τῶν Αἰγυπτίων καὶ τῶν Βαβυλωνίων ἔμαθον οἱ Ἴωνες. Ἀκριβεῖ δὲ νοήσει ἐγίγνωσκον τὴν πάσης τῆς φύσεως εὐνομίαν. Οὕτω Θάλης ὁ Μιλήσιός ποτε ἔκλειψίν τινα τοῦ ἡλίου προεῖπεν. Ὁ αὐτὸς ἐνόμισε πάντα ἐκ τοῦ ὕδατος γενέσθαι. Πολλοὺς ἐνιαυτοὺς τὰ τῆς φύσεως ἔργα ἐθεώρησε πορευόμενος εἰς τὴν Βαβυλωνίαν ἐφ᾽ ἵππῳ ἢ ἅρματι καὶ εἰς τὴν Αἴγυπτον ἐν νηί. Οἱ γὰρ Ἕλληνες, ὡς πρότερον ἐμάθετε, φίλοι ἦσαν τῆς θαλάττης καὶ ναυσὶ φερόμενοι ἦλθον εἰς νέας χώρας καὶ ηὗρον παντοῖα ἔθνη ἄγνωστα. Ἀναξίμανδρος δὲ ὁ Μιλήσιος πίνακα τῆς γῆς ἐποίησε, καὶ Πυθαγόρας ὁ Σάμιος πρῶτος ἐδήλωσεν, ὡς ἡ γῆ ἐστι σφαιροειδής. Δικαίως ἄρα εἴποι τις ἂν τοὺς Ἴωνας εἶναι πολλῶν ἐπιστημῶν γονέας.

Сентенции

1. Οὔ ἐστιν ἔργων καιρός, ἄχρηστοι λόγοι. 2. Πάσης γε λύπης γίγνετ᾽ ἰατρὸς χρόνος.

Отрывок из элегии

Μοῦσαι καὶ Χάριτες, κοῦραι[1] Διός, αἵ ποτε Κάδμου
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ᾽ ἔπος,
"ὅττι καλόν, φίλον ἐστί· τὸ δ᾽ οὐ καλὸν οὐ φίλον ἐστί".
τοῦτ᾽ ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Феогнид

Лексика

ὁ **βασιλεύς**, έως царь
ἡ πυραμίς, ίδος пирамида
ἀναγκαῖος, αία, αῖον нужный, необходимый
ἡ οἴκησις, εως обитание; жилье, жилище
ὁ τάφος, ου могила
ὁ ἀριθμητικός, οῦ человек, умеющий считать (*ср. арифметика*)
τὸ μέτρον, ου мера (*ср. метр*)
ὁ γεωμέτρης, ου землемер, геометр (*ср. геометрия*)
ὁ **ἱερεύς**, έως жрец
ὁ ἰατρός, οῦ врач (*ср. психиатр*)
ἡ ἰατρικὴ τέχνη медицина
ἐξετάζω испытывать
ὁ **συγγραφεύς**, έως писатель
ἡ νόησις, εως мышление
ἡ ναῦς, νεώς корабль
προλέγω выбирать предпочтительно; предсказывать (*ср. пролог*)
τὸ ἔθνος, ους племя, народ (*ср. этнология*)
ἡ ἐπιστήμη, ης знание, наука
ὁ **γονεύς**, έως родитель, отец; *pl.* родители
ἡ εὐνομία, ας благоустройство
ἡ κόρη, ης девушка, дочь
ἡ λύπη, ης горе
οὑ где (*относит.*)
ὁ πίναξ, ακος доска; карта, картина
σφαιροειδής, ές шарообразный
ἡ ἔκλειψις, εως солнечное затмение
ἀείδω петь (*poet.*)
ἄχρηστος, ον бесполезный, неподходящий

Из Нового Завета

...καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. (Мф. 4, 19)

---

[1] = κόραι

...οὕτως τρέχετε ἵνα καταλάβητε. πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. (1 Кор. 9, 24-25)

Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. (1 Тим. 1, 15)

Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ ἀοράτῳ μόνῳ θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. (1 Тим. 1, 17)

δεῦτε *нар.* (подходи́те) бли́же
ὀπίσω сза́ди
ἁλιεύς, έως рыболо́в
τρέχω бежа́ть
ἀγωνίζομαι соревнова́ться
ἐγκρατεύομαι быть воздержа́нным
φθαρτός, ή, όν тле́нный, подве́рженный разруше́нию
ὁ στέφανος, ου вено́к

Из богослужения

...ἰσαρίθμους γὰρ τῷ ψάμμῳ ὠδὰς ἂν (ἐάν) προσφέρωμέν σοι, Βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον...(Акафист, кондак 11)

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης... (Догматик 2 гласа)

ἰσάριθμος, ον равночи́сленный
ὁ (ἡ) ψάμμος, ου песо́к
τελέω зака́нчивать
ἡ σκιά, ᾶς тень

Упражнения

I. Просклоня́йте: ὁ ἀκριβὴς συγγραφεύς – ἡ νέα ναῦς.

II. Переведи́те, обраща́я внима́ние на употребле́ние наклоне́ний: ἐὰν φεύγῃς – εἴθε εὑρίσκοις – λεγέτω τάδε – γίγνεσθαι – ἐὰν μὴ τρέχητε – ὅταν μανθάνωσιν – φεύγοντες – ἐγίγνεσθε – τῶν ἐρχομένων – ἵνα μηδεὶς ἀποθνῄσκῃ – πολλὰ ἐπάσχομεν.

III. Переведи́те на ру́сский язы́к: 1. Ἄρτι ἔμαθον τοὺς τοῦ γείτονος δούλους φυγεῖν. 2. Δράμοιεν ἄν εἰς τὸν λιμένα, ἵνα ἐκεῖ εἰς ναῦν τινα εἰσβαίνωσιν. 3. Πολλὰ ἔπαθον ἐν τῇ οἰκίᾳ ἐκείνου· ἔνιοι δέ, οὓς φοβερῶς ἐζημίωσε, καὶ ἀπέθανον. 4. Μάτην εἶπον πρὸς αὐτόν· "Γένοιο δίκαιος καὶ ἀγαθὸς κύριος· οἱ δοῦλοι εἴθε σοι γένοιντο φίλοι". 5. Νῦν δὲ ἀπῆλθεν ὡς αὐτοὺς διωξόμενος. 6. Ὅταν δὲ τοὺς ἀθλίους εὕρῃ, αὐτοὺς δεινῶς κολάσει ἢ φονεύσει.

УРОК 28

III склонение: существительные и прилагательные на -υς. βοῦς, πολύς, μέγας. Дальнейшие примеры на аккузатив внутреннего объекта. Genetivus при ἐλεύθερος.

III склонение. Существительные и прилагательные на -υς

Слова с основой на -υ- мужского и женского рода образуют сигматический номинатив, например: ὁ ἰχθύς *рыба*. Конечный гласный основы -υ в некоторых словах сохраняется во всех падежах (словарная форма – ἡ πίτυς, πίτυος *сосна*). В винительном падеже множественного числа слов, сохраняющих -υ- по всей парадигме, употребляется окончание –ῡς.

	Singularis	Pluralis
Nom.	ἡ πίτυς	αἱ πίτυες
Gen.	τῆς πίτυος	τῶν πιτύων
Dat.	τῇ πίτυι	ταῖς πίτυσι(ν)
Acc.	τὴν πίτυν	τὰς πίτυς
Voc.	(ὦ) πίτυ	(ὦ) πίτυες

В других словах (словарная форма ὁ πέλεκυς, πελέκεως *топор*) -υ- присутствует только в именительном, винительном и звательном падежах единственного числа: именительный падеж оканчивается на -υς (ὁ πέλεκυς), винительный – на -υν (τὸν πέλεκυν), а звательный представляет собой чистую основу (ὦ πέλεκυ). В остальных падежах основа оканчивается на -ε. Такие слова склоняются, как ἡ πόλις.

	Singularis	Pluralis
Nom.	ὁ πέλεκυς	οἱ πελέκεις
Gen.	τοῦ πελέκεως	τῶν πελέκεων
Dat.	τῷ πελέκει	τοῖς πελέκεσι(ν)
Acc.	τὸν πέλεκυν	τοὺς πελέκεις
Voc.	(ὦ) πέλεκυ	(ὦ) πελέκεις

Прилагательные с основой на -υ- относятся к группе прилагательных трех окончаний, например: γλυκύς, γλυκεῖα, γλυκύ *сладкий*. В мужском и среднем роде они склоняются как существительные типа ὁ πέλεκυς, а именно, имеют основу на -υ- только в именительном, винительном и звательном падежах единственного числа, а в остальных падежах – основу на -ε-. Однако в родительном падеже такие прилагательные оканчиваются на -ος. Форма женского рода образуется с помощью суффикса -ια от основы на -ε-, причем ε сливается с ι в дифтонг -ει: γλυκε + ια = γλυκεῖα. Эта форма склоняется по I склонению.

	m	f	n
Sg. Nom.	γλυκύς	γλυκεῖα	γλυκύ
Gen.	γλυκέος	γλυκείας	γλυκέος
Dat.	γλυκεῖ	γλυκείᾳ	γλυκεῖ
Acc.	γλυκύν	γλυκεῖαν	γλυκύ
Voc.	γλυκύ	γλυκεῖα	γλυκύ
Pl. Nom.	γλυκεῖς	γλυκεῖαι	γλυκέα
Gen.	γλυκέων	γλυκειῶν	γλυκέων
Dat.	γλυκέσι(ν)	γλυκείαις	γλυκέσι(ν)
Acc.	γλυκεῖς	γλυκείας	γλυκέα
Voc.	γλυκεῖς	γλυκεῖαι	γλυκέα

NB Прилагательные с основой на -υ-, за редким исключением, в мужском и среднем роде имеют конечное острое ударение (βαρύς, βαρεῖα, βαρύ *тяжелый*, ταχύς, ταχεῖα, ταχύ *быстрый*, βραδύς, βραδεῖα, βραδύ *медленный*, но ἥμισυς, ἡμίσεια, ἥμισυ *половинный*, θῆλυς, θήλεια, θῆλυ *женский*).

Существительное ὁ, ἡ βοῦς «бык», «корова»

Это единственное существительное, имеющее основу на -ου- (ср. особое склонение в латинском языке слова bos, bovis m, f *бык, корова*). Именительный падеж образуется сигматически: βου + ς. Основа оканчивается на дифтонг -ου только в именительном, звательном и винительном падежах единственного числа и в дательном и винительном падежах множественного

числа. В остальных падежах основа оканчивается на -о, которое не сливается с гласными падежных окончаний:

	Singularis	Pluralis
Nom.	ὁ βοῦς	οἱ βόες
Gen.	τοῦ βοός	τῶν βοῶν
Dat.	τῷ βοΐ	τοῖς βουσί(ν)
Acc.	τὸν βοῦν	τοὺς βοῦς
Voc.	(ὦ) βοῦ	(ὦ) βόες

Неправильные прилагательные *πολύς многочисленный* и *μέγας большой*

Неправильность склонения этих прилагательных заключается в том, что их формы образуются от разных основ. У прилагательного πολύς это основы πολυ- и πολλο-, а у прилагательного μέγας – μεγα- и μεγαλο-. От основ πολυ- и μεγα- образуются именительный и винительный падежи единственного числа мужского и среднего рода по III склонению, а от πολλο- и μεγαλο- – прочие формы по II склонению в мужском и среднем роде и по I склонению в женском роде.

	m	f	n
Sg. Nom.	μέγας	μεγάλη	μέγα
Gen.	μεγάλου	μεγάλης	μεγάλου
Dat.	μεγάλῳ	μεγάλῃ	μεγάλῳ
Acc.	μέγαν	μεγάλην	μέγα
Voc.	μεγάλε	μεγάλη	μέγα
Pl. Nom.	μεγάλοι	μεγάλαι	μεγάλα
Gen.	μεγάλων	μεγάλων	μεγάλων
Dat.	μεγάλοις	μεγάλαις	μεγάλοις
Acc.	μεγάλους	μεγάλας	μεγάλα
Voc.	μεγάλοι	μεγάλαι	μεγάλα

	m	f	n
Sg. Nom.	πολύς	πολλή	πολύ
Gen.	πολλοῦ	πολλῆς	πολλοῦ
Dat.	πολλῷ	πολλῇ	πολλῷ
Acc.	πολύν	πολλήν	πολύ

Pl. Nom.	πολλοί	πολλαί	πολλά
Gen.	πολλῶν	πολλῶν	πολλῶν
Dat.	πολλοῖς	πολλαῖς	πολλοῖς
Acc.	πολλούς	πολλάς	πολλά

Синтаксис

1. В уроке 24 мы уже обсуждали винительный падеж внутреннего объекта, который усиливает значение глагола, например:

ἔσχατον κίνδυνον κινδυνεύειν *подвергаться крайней опасности,*

καλλίστην νίκην νικῆσαι *одержать блестящую победу.*

При этом в винительном падеже часто употребляется существительное одного корня с глаголом, но может быть существительное и другого корня, близкого по значению к глаголу:

μακρὸν ὕπνον καθεύδειν *спать долгим сном.*

Существительное в винительном падеже внутреннего объекта может быть только отвлеченным и имеет при себе определение. В аналогичных оборотах русского языка употребляется творительный падеж с определением («спать глубоким сном», «умереть славной смертью»), но в языке народной поэзии бывает и винительный падеж без определения («горе горевать», «думу думать», «пир пировать»). Использовавшийся в качестве риторического приема аккузатив внутреннего объекта получил еще одно наименование: figura etymologica (этимологическая фигура).

2. При прилагательных со значениями *лишенный чего-либо, не имеющий чего-либо, свободный от чего-либо,* например, при прилагательном ἐλεύθερος *свободный,* ставится родительный падеж:

οἱ περίοικοι ἐν μικραῖς τισι πόλεσι βιοτεύοντες δουλείας ἐλεύθεροι ἦσαν *периэки, жившие в некоторых маленьких полисах, были свободны от рабства.*

Спартиаты, илоты и периэки

Καλὸς μὲν καὶ ἡδὺς ἦν ὁ τῶν Ἰώνων βίος. Χαλεπὸν δὲ καὶ τραχὺν βίον ἐβιότευον οἱ Λακεδαιμόνιοι, μάλιστα δὲ οἱ εἵλωτες καὶ οἱ περίοικοι, οἳ ἦσαν Ἀχαιοὶ τὸ γένος. Ἐπεὶ γὰρ οἱ Δωριεῖς εἰς τὴν Πελοπόννησον εἰσέβαλον καὶ τοὺς Ἀχαιοὺς κατεστρέψαντο, βαρεῖαν ἀρχὴν κατεσκεύασαν.

Οἱ οὖν Δωριεῖς ἐν τῇ Σπάρτῃ ᾠκίσαντο. Αὕτη ἡ πόλις ἦν ἐν εὐρεῖ πεδίῳ, καὶ διὰ τούτου ἔῤῥεον ταχεῖς ποταμοί, ὧν μέγιστος ἦν ὁ Εὐρώτας. Αἱ δὲ πηγαὶ αὐτῶν ἦσαν ἐν ὑψηλοῖς καὶ τραχέσιν ὄρεσιν, ἃ τότε πλήρη ἦν πιτύων καὶ ἄλλων δένδρων καὶ παντοίων θηρίων.

Ἐν δὲ τῷ πεδίῳ ἦσαν οἱ τῶν Σπαρτιατῶν ἀγροί, ἔνθα οἱ εἵλωτες τὴν γῆν εἰργάζοντο καὶ βοῦς καὶ σῦς μετὰ ταχέων καὶ ὀξέων κυνῶν ἐφύλαττον. Οἱ οὖν περίοικοι ἐν μικραῖς τισι πόλεσι βιοτεύοντες δουλείας μὲν ἐλεύθεροι ἦσαν, τῆς δὲ πολιτείας μετέχειν οὐδὲ αὐτοῖς ἐξῆν. Βαρέα πάθη καὶ πολὺν πόνον καὶ οἱ περίοικοι ἔφερον. Ἦσαν γὰρ γεωργοὶ καὶ ἐργάται καὶ ναῦται, καὶ ἐπὶ πολεμίους συστρατεύεσθαι ἠναγκάζοντο.

Γείτονες τῶν Σπαρτιατῶν ἦσαν οἱ Μεσσήνιοι. Ἐπεὶ δὲ ὁ τῶν Σπαρτιατῶν ἀριθμὸς ηὐξάνετο καὶ μεγάλη ἀπορία ἀγρῶν ἦν, οἱ Λακεδαιμόνιοι μέγαν πόλεμον ἐπολέμησαν, ἵνα καὶ τὴν τῶν Μεσσηνίων χώραν κτήσωνται. Πολὺν χρόνον οἱ Μεσσήνιοι ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς πατρίδος ἐμάχοντο. Ἀλλὰ καίπερ θρασέως πολεμήσαντες ὅμως ἐγένοντο εἵλωτες. Ἡ γὰρ τῶν Σπαρτιατῶν ἰσχὺς ἦν δεινὴ καὶ ἡ τῶν στρατηγῶν ἐμπειρία μεγάλη. Ἐν ἐκείνῳ τῷ χρόνῳ Τυρταῖος ὀξέσι ποιήμασιν, ὡς εἴπομεν, τοὺς νεανίας πρὸς ἀνδρείαν προτρέψαι λέγεται.

Сентенции

1. Χάρις γηράσκει ταχέως. 2. Ἀρχή ἐστιν ἥμισυ παντός. 3. Σπεῦδε βραδέως.

Лексика

ἡδύς, εῖα, ύ приятный, милый; ἡδέως охотно, с радостью

τραχύς, εῖα, ύ шершавый, неприятный, труднодоступный

ὁ εἵλως, ωτος илот

ὁ περίοικος, ου периэк, свободный человек без гражданских прав

ὁ Δωριεύς, έως дориец
ἔβαλον сильный аорист к βάλλω *бросать*
εἰσβάλλω бросать во что-л., вторгаться
βαρύς, εῖα, ύ тяжелый (*ср. барометр*)
κατασκευάζω приготовлять
εὐρύς, εῖα, ύ широкий
τὸ πεδίον, ου равнина
ὁ Σπαρτιάτης, ου спартанец
ῥέω течь (*ср. ревматизм*)
ταχύς, εῖα, ύ быстрый (*ср. тахикардия*)
ἡ πηγή, ῆς источник
τὸ ὄρος, ους гора
τὸ δένδρον, ου дерево (*ср. рододендрон, дендрарий*)
ὁ, ἡ **βοῦς**, βοός бык, корова
ὀξύς, εῖα, ύ острый, пронзительный, кислый
ὁ, ἡ κύων, κυνός собака (*ср. киник, циник*)
ἡ δουλεία, ας рабство
πολύς, πολλή, πολύ многий, большой; οἱ πολλοί большинство (*ср. политехнический, политеизм*)
συστρατεύομαι вместе идти в поход
μέγας, μεγάλη, μέγα большой (*ср. мегафон, мегаполис*)
ἡ ἀπορία, ας недостаток, затруднение
θρασύς, εῖα, ύ отважный, смелый
ἡ **ἰσχύς**, ύος сила, мощь
ὁ στρατηγός, οῦ полководец (*ср. стратегия*)
τὸ βιβλίον, ου книга
βραδύς, εῖα, ύ медленный
ἡ **πίτυς**, υος сосна
ὁ, ἡ **σῦς**, συός кабан, свинья
γηράσκω стареть

Из Нового Завета

Οἱ δὲ λέγουσιν αὐτῷ· οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. (Мф. 14, 17)

Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σὰρξ ἀλλὰ ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ σὰρξ πτηνῶν, ἄλλη δὲ ἰχθύων. (1 Кор. 15, 39)

...τὸ δίκτυον ... μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν... (Ин. 21, 11)

...ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ...(Лк. 6, 23)

...ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων... (2 Кор. 2, 4)

Καὶ ἕτερος εἶπεν· ζεύγη βοῶν ἠγόρασα πέντε καὶ πορεύομαι δοκιμάσαι αὐτά... (Лк. 14, 19)

ὁ ἄρτος, ου хлеб
ἡ σάρξ, σαρκός плоть, мясо
τὸ κτῆνος, εος домашнее животное
πτηνός, ή, όν летающий, крылатый
τὸ δίκτυον, ου сеть, невод
μεστός, ή, όν полный

ἑκατόν (нескл.) сто
πεντήκοντα (нескл.) пятьдесят
ὁ μισθός, οῦ жалованье, мзда
τὸ δάκρυον, ου слеза
τὸ ζεῦγος, εος парная упряжка
δοκιμάζω испытывать, пробовать

Из богослужения

Τίς Θεὸς Μέγας, ὡς ὁ Θεὸς ἡμῶν; ... (Прокимен великий вечерни Дня Святого Духа)

Τὴν τῶν ἰχθύων ἄγραν, καταλιπὼν Ἀπόστολε, ἀνθρώπους σαγηνεύεις, καλάμῳ τοῦ κηρύγματος... (Стихира на «Господи, воззвах» апостолу Андрею Первозванному, глас 4)

καταλείπω, аог. κατέλιπον оставлять
σαγηνεύω ловить сетью
ὁ κάλαμος, ου *зд.* удочка
τὸ κήρυγμα, ατος проповедь

Упражнения

I. Просклоняйте: ὁ μέγας βοῦς – τὸ θρασὺ πρᾶγμα – ἡ εὐρεῖα ὁδός.

II. Переведите, обращая внимание на значение предлогов: 1. Ὑπὸ τῷ τραχεῖ ὄρει – σὺν θρασέσιν ἥρωσιν – διὰ βαρέα ἄλγη – περὶ μεγάλων στάσεων – παρὰ τοὺς ταχεῖς ποταμούς – ἐν τῷ ἡδεῖ ἔαρι – ἄνευ ὀξέων ὅπλων – εἰς τὰ εὐρέα πλοῖα – διὰ μεγάλων νήσων – διὰ τὴν σὴν ἰσχύν – μετὰ πολὺν χρόνον. 2. Ταχέως ἐλθεῖν χρή – οἱ δοῦλοι οἱ θρασέως φυγόντες – βαρέως πάντα φέρεις – γυνὴ πολλὰ παθοῦσα – τίνα ποιήματα ἔμαθες; – οὐ πολὺ ηὗρεν – ὀξέως ἐβόησεν.

УРОК 29

III склонение: некоторые особенности (ἀνήρ, πατήρ, μήτηρ, θυγάτηρ, ἄστυ, νύξ; μέλας, ἑκών, ἄκων).
Предикативное употребление ἑκών, ἄκων.

III склонение. Некоторые особенности.

В III склонении имеются существительные и прилагательные, которые при изменении по падежам отступают от нормы.

Несколько существительных с основой на -ρ- (в основном термины родства) сохранили древнее чередование основ: существительное ὁ πατήρ *отец* в родительном и дательном падежах единственного числа и в дательном падеже множественного числа имеет основу πατρ-, а в остальных падежах основу πατερ-, существительное ἡ μήτηρ *мать* – соответственно основы ματρ- и ματερ-, ἡ θυγάτηρ *дочь* – θυγατρ- и θυγατερ-, ἡ γαστήρ *живот* – γαστρ- и γαστερ-.

При этом в дательном падеже множественного числа между основой и падежным окончанием -σι вставляется α, на которую падает ударение (πατράσι(ν), μητράσι(ν) и т. д.). В именительном падеже единственного числа происходит растяжение гласного основы ε > η. Звательный падеж представляет собой чистую основу на ερ-, а ударение в нем переходит на первый слог (ὦ πάτερ, ὦ μῆτερ и т. д.), что для древнегреческого языка является уже пережитком. Сохранили эти существительные и еще одну древнюю черту: несмотря на то, что они неодносложные, в родительном и дательном падежах единственного числа ударение у них переходит на окончание:

	Singularis	Pluralis
Nom.	ὁ πατήρ	οἱ πατέρες
Gen.	τοῦ πατρός	τῶν πατέρων
Dat.	τῷ πατρί	τοῖς πατράσι(ν)
Acc.	τὸν πατέρα	τοὺς πατέρας
Voc.	(ὦ) πάτερ	(ὦ) πατέρες

	Singularis	Pluralis
Nom.	ἡ μήτηρ	αἱ μητέρες
Gen.	τῆς μητρός	τῶν μητέρων
Dat.	τῇ μητρί	ταῖς μητράσι(ν)
Acc.	τὴν μητέρα	τὰς μητέρας
Voc.	(ὦ) μῆτερ	(ὦ) μητέρες

	Singularis	Pluralis
Nom.	ἡ θυγάτηρ	αἱ θυγατέρες
Gen.	τῆς θυγατρός	τῶν θυγατέρων
Dat.	τῇ θυγατρί	ταῖς θυγατράσι(ν)
Acc.	τὴν θυγατέρα	τὰς θυγατέρας
Voc.	(ὦ) θύγατερ	(ὦ) θυγατέρες

Существительное ὁ ἀνήρ *мужчина, муж* склоняется как ὁ πατήρ, но в большинстве падежных форм у него появляется вставное -δ- между ν и ρ:

	Singularis	Pluralis
Nom.	ὁ ἀνήρ	οἱ ἄνδρες
Gen.	τοῦ ἀνδρός	τῶν ἀνδρῶν
Dat.	τῷ ἀνδρί	τοῖς ἀνδράσι(ν)
Acc.	τὸν ἄνδρα	τοὺς ἄνδρας
Voc.	(ὦ) ἄνερ	(ὦ) ἄνδρες

Среди основ на -υ- в аттическом диалекте к среднему роду относится только одно слово τὸ ἄστυ, ἄστεως *город*, которое склоняется следующим образом (причем: ε + α сливаются здесь в η):

	Singularis	Pluralis
Nom.	τὸ ἄστυ	τὰ ἄστη
Gen.	τοῦ ἄστεως	τῶν ἄστεων
Dat.	τῷ ἄστει	τοῖς ἄστεσι(ν)
Acc.	τὸ ἄστυ	τὰ ἄστη
Voc.	(ὦ) ἄστυ	(ὦ) ἄστη

Существительное ἡ νύξ, νυκτός *ночь* имеет в большинстве форм основу νυκτ-, а в именительном падеже единственного числа и дательном множественного – основу νυκ-:

	Singularis	Pluralis
Nom.	ἡ νύξ	αἱ νύκτες
Gen.	τῆς νυκτός	τῶν νυκτῶν
Dat.	τῇ νυκτί	ταῖς νυξί(ν)
Acc.	τὴν νύκτα	τὰς νύκτας
Voc.	(ὦ) νύξ	(ὦ) νύκτες

Среди прилагательных трех окончаний III склонения есть очень небольшая группа прилагательных с основой на -ν, из которых наиболее употребительным является слово μέλας, μέλαινα, μέλαν *черный*. Именительный падеж единственного числа мужского рода образуется у него сигматически с растяжением гласного основы: μέλᾱς < μέλᾰν + ς. Именительный, винительный и звательный падежи единственного числа среднего рода равны чистой основе – μέλαν. Форма женского рода образуется с помощью суффикса -ια от основы на -αν, причем группа αν + ια переходит в -αινα: μελαν + ια > μέλαινα. Эта форма изменяется по I склонению:

	m	f	n
Sg. Nom.	μέλας	μέλαινα	μέλαν
Gen.	μέλανος	μελαίνης	μέλανος
Dat.	μέλανι	μελαίνῃ	μέλανι
Acc.	μέλανα	μέλαιναν	μέλαν
Voc.	μέλαν	μέλαινα	μέλαν
Pl. Nom.	μέλανες	μέλαιναι	μέλανα
Gen.	μελάνων	μελαινῶν	μελάνων
Dat.	μέλασι(ν)	μελαίναις	μέλασι(ν)
Acc.	μέλανας	μελαίνας	μέλανα
Voc.	μέλανες	μέλαιναι	μέλανα

В уроке 23 мы уже рассматривали прилагательные трех окончаний III склонения с основой на ντ- типа прилагательного πᾶς, πᾶσα, πᾶν *весь, всякий* и упоминали, что такие прилагательные могут иметь перед конечной группой согласных основы разную огласовку -αντ-, -εντ-, -οντ-. Прилагательное ἑκών, ἑκοῦσα, ἑκόν *добровольный* (основа ἑκόντ-) и производное от него с помощью отрицательной альфы (< ἀέκων) прилагатель-

ное ἄκων, ἄκουσα, ἄκον *недобровольный* (основа ἀκόντ-) относятся к словам с огласовкой -οντ-.

Именительный падеж единственного числа мужского рода этого прилагательного образован асигматически, как в слове ὁ γέρων, с отпадением конечного согласного основы τ- и удлинением ο > ω (ἑκών < *ἑκοντ). Именительный, винительный и звательный падежи единственного числа среднего рода представляют собой чистую основу с отпадением конечного согласного основы τ: ἑκόν < *ἑκοντ. Именительный падеж единственного числа женского рода образуется с помощью суффикса -ια от основы на ντ-, после прибавления которого -οντ-ια > -ουσα: ἑκοντ + ια > ἑκοῦσα. Форма женского рода склоняется по первому склонению (как, например, ἡ Μοῦσα).

	m	f	n
Sg. Nom.	ἑκών	ἑκοῦσα	ἑκόν
Gen.	ἑκόντος	ἑκούσης	ἑκόντος
Dat.	ἑκόντι	ἑκούσῃ	ἑκόντι
Acc.	ἑκόντα	ἑκοῦσαν	ἑκόν
Pl. Nom.	ἑκόντες	ἑκοῦσαι	ἑκόντα
Gen.	ἑκόντων	ἑκουσῶν	ἑκόντων
Dat.	ἑκοῦσι(ν)	ἑκούσαις	ἑκοῦσι(ν)
Acc.	ἑκόντας	ἑκούσας	ἑκόντα

По такому же принципу склоняется и прилагательное ἄκων, ἄκουσα, ἄκον *недобровольный*.

Синтаксис

Прилагательные **ἑκών, ἑκοῦσα, ἑκόν** *добровольный* **и ἄκων, ἄκουσα, ἄκον** *недобровольный* в предложении часто занимают предикативную позицию, то есть не следуют за артиклем, находясь либо после существительного с артиклем, либо перед артиклем. В таком случае по значению они становятся как бы сказуемым данной мысли при определяемом существительном как подлежащем этой мысли:

καὶ ἦν ποτε χρόνος, ὅτε καὶ εἰς τὴν Σπάρτην ποιηταὶ ἑκόντες ἦκον *и было некогда время, когда и в Спарту поэты приходили добровольно;*

οὐχ ἑκόντες οἱ Ἀχαιοὶ τὴν δουλείαν ἔφερον *ахейцы переносили рабство против своей воли;*

οἱ Σπαρτιᾶται τοὺς περιοίκους ἄκοντας συστρατεύεσθαι ἐκέλευον *спартанцы приказывали периэкам против их воли вместе идти в поход.*

На русский язык эти прилагательные в предикативном употреблении удобно переводить наречиями «добровольно» и «недобровольно» или выражениями «по своей воле» и «против воли».

О жизни в Спарте

Πάντες οἱ ξένοι εἰς τὴν Σπάρτην ἐλθόντες τὸ ἄστυ ἀτείχιστον εἶναι ἐθαύμαζον. Οἱ δὲ Σπαρτιᾶται ἀπεκρίνοντο αὐτοῖς τὴν τῶν ἀνδρῶν ἀνδρείαν ἄριστον ἄστεως τεῖχος εἶναι. Πᾶς γὰρ Σπαρτιατῶν ἀνὴρ ἦν στρατιώτης, καὶ πᾶσι τοῖς ἀνδράσιν οἱ νόμοι, ὧν αἴτιος εἶναι ὁ Λυκοῦργος ἐλέγετο, ἐπέταττον ἡμέρας καὶ νυκτὸς τὴν πατρίδα φυλάττειν. Διὰ τοῦτο οἱ ἄνδρες κοινῇ μὲν τὰ σώματα ἐγύμναζον, κοινῇ δὲ καὶ ἦσθιον ἐν τοῖς συσσιτίοις καὶ ἐτέρποντο εὐτελεῖ τροφῇ, μάλιστα δὲ τῷ μέλανι ζωμῷ. Ἦρχον δὲ αὐτῶν δύο βασιλεῖς καὶ οἱ τῆς γερουσίας γέροντες καὶ πέντε ἔφοροι.

Πρὸς δὲ τὸν στρατιωτῶν βίον ἐπαιδεύοντο οἵ τε παῖδες καὶ οἱ ἔφηβοι. Μετὰ γὰρ τὸν ἕβδομον ἐνιαυτὸν τὸ παιδεύειν οὐκέτι ταῖς μητράσιν οὐδὲ τοῖς πατράσιν ἐξῆν, ἀλλὰ καὶ ἡ τῶν νέων παιδεία ἦν κοινή. Οὕτως ἐμάνθανον τὰ σώματα ἀσκῆσαι, βραχέως ἀποκρίνεσθαι, παντὶ ἀνδρὶ πείθεσθαι, τοὺς γέροντας θεραπεύειν. Παλαιὸς καὶ τραχὺς νόμος ἦν τοὺς παῖδας ἐν τῷ τῆς Ἀρτέμιδος ναῷ μάστιξι πλήττεσθαι, ἵνα μάθωσιν ἄλγη ἀνδρείως φέρειν. Καὶ αἱ τῶν Σπαρτιατῶν θυγατέρες ἐγυμνάζοντο ἐν τῷ τρέχειν καὶ τῷ ἄλλεσθαι, ὅπως ἡ θυγάτηρ ὁμοία γένηται τῇ μητρὶ ἰσχὺν καὶ ὑγίειαν. Ἀλλὰ καὶ ᾄδειν καὶ χορεύειν ἐμάνθανον. Καὶ ἦν ποτε χρόνος, ὅτε καὶ εἰς τὴν Σπάρτην ποιηταὶ ἑκόντες ἦκον ὡς καλαῖς ᾠδαῖς καὶ εὐσεβέσιν ὕμνοις τὰς τῶν θεῶν ἑορτὰς κοσμήσοντες.

Ὕστερον δὲ μετὰ μεγάλας τῶν εἱλώτων στάσεις καὶ πιεζόμενοι ὑπὸ τῶν γειτόνων οἱ Σπαρτιᾶται ἠναγκάζοντο τῶν τεχνῶν

13 Зак. 3923

ἀμελῆσαι. Τότε ἡ Σπάρτη πάντως ὁμοία ἦν στρατοπέδῳ. Ἐπὶ οὖν μακρὸν χρόνον οἱ Σπαρτιᾶται ἐν πάσῃ τῇ Ἑλλάδι ἄριστοι στρατιῶται ἐνομίζοντο εἶναι.

Сентенции

1. Ἰητρὸς[1] γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων. 2. Χρηστοῦ παρ᾽ ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν. 3. Ἀνδρῶν σὺ φαύλων ὅρκον εἰς ὕδωρ γράφε. 4. Γύμναζε παῖδας· ἄνδρας οὐ γὰρ γυμνάσεις. 5. Βραχὺς μὲν ὁ βίος, ἡ δὲ τέχνη μακρά (Гиппократ).

Лексика

τὸ **ἄστυ**, εως город (укрепленное место)
τὸ τεῖχος, ους стена
ἀτείχιστος, ον лишенный стен
ὁ **ἀνήρ**, ἀνδρός мужчина, человек
ἡ νύξ, νυκτός ночь
κοινός, ή, όν общий
κοινῇ заодно, вместе
εὐτελής, ές дешевый
μέλας, μέλαινα, μέλαν черный (*ср. меланхолия, Меланезия*)
ὁ ἔφορος, ου эфор, надзиратель
ἡ ἥβη, ης молодость, юность
ὁ ἔφηβος, ου юноша
ἕβδομος, η, ον седьмой
ἀσκέω упражнять, закалять, тренировать (*ср. аскет*)
βραχύς, εῖα, ύ короткий
ἡ μάστιξ, ιγος бич, кнут
ἡ **θυγάτηρ**, τρός дочь
ἡ ὑγίεια, ας здоровье (*ср. гигиена*)
χορεύω танцевать
ἑκών, οὖσα, όν делающий по собственной воле (*лучше переводить наречием* добровольно)
ἄκων, ἄκουσα, ἄκον делающий против воли, не добровольно (*лучше переводить наречием*: не добровольно, против воли *и т. п.*).
εὐσεβής, ές благочестивый
ὁ ὕμνος, ου гимн, песнь
πάντως всячески
τὸ στρατόπεδον, ου военный лагерь
τὸ συσσίτιον, ου общий обед, сотрапезничество
ὁ ζωμός, οῦ черная похлебка

Из Нового Завета

...ἐν ἐμοὶ ὁ πατὴρ κἀγὼ ἐν τῷ πατρί. (Ин. 10, 38)

...παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ θεός. (1 Кор. 11, 3)

---

[1] Ионийская форма, соответствующая аттическому ἰατρός.

Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς ἀλλὰ γυνὴ ἐξ ἀνδρός· καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. (1 Кор. 11, 8-9)

Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. (1 Тим. 2, 8)

Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων…(1 Кор. 9, 17)

ἡ κεφαλή, ῆς глава, голова
ἐκτίσθη создан
προσεύχομαι молиться
ἐπαίρω поднимать
ὅσιος, α, ον преподобный
ὁ διαλογισμός, οῦ рассуждение, сомнение

Из богослужения

…πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνῄσκειν μέλλοντας… (Экзапостиларий службы святителю Николаю Мирликийскому, 6 декабря)

…ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες ὑπὸ ἀστέρος ἐδιδάσκοντο σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης… (Тропарь Рождества)

θνῄσκω умирать
τὸ ἄστρον, ου звезда
λατρεύω служить
προσκυνέω поклоняться
ἡ δικαιοσύνη, ης праведность, правда

Упражнения

I. Просклоняйте: ὁ μέγας ἀνήρ – ὁ μέλας Αἰθίοψ.

II. Переведите на русский язык, обращая внимание на морфологические особенности изученных слов: 1. Διὰ τί ἤλθετε εἰς τὸ ἄστυ; 2. Μέλλομεν θεάσεσθαι τὰ τοῦ ἄστεως τείχη καὶ τὸν λιμένα καὶ τὴν ἀγοράν. 3. Καὶ πολλοὺς ἀνδριάντας καὶ μεγάλα ἀναθήματα ἐν τῷ ἄστει εἶναι ἐμάθομεν. – 4. Παντὶ πατρὶ καὶ πάσῃ μητρὶ οἱ παῖδές εἰσι κάλλιστος κόσμος. 5. Τοὺς πατέρας καὶ τὰς μητέρας ἀτιμάζειν νέοις οὐ πρέπει. 6. Ὦ μῆτερ, μὴ χαῖρε μόνον τῷ τῆς θυγατρὸς κάλλει, ἀλλ᾽ ἔτι μᾶλλον τῇ ὑγιείᾳ αὐτῆς.– 7. Οἱ Σπαρτιᾶται τοὺς περιοίκους ἄκοντας συστρατεύεσθαι ἐκέλευον. 8. Οὐχ ἑκόντες οἱ Ἀχαιοὶ τὴν δουλείαν ἔφερον. 9. Τῶν ἐφόρων ἀκόντων τοῖς ξένοις οὐκ ἐξῆν ἐν τῇ Σπάρτῃ μένειν. 10. Σόλωνος ἄκοντος ὁ Πεισίστρατος ἐγένετο τῶν Ἀθηναίων τύραννος.

УРОК 30

Образование степеней сравнения на -τερος, -τατος. Εἰμί (в упражнениях). Genetivus comparationis при сравнит. степени; ὡς при превосходной степени. Genetivus comparationis при κρατέω.

Образование степеней сравнения на -τερος, -τατος

Прилагательные

В предыдущих уроках (урок 2, 3, 4, 7, 8, 12, 13, 14, 23, 25, 26, 28, 29) мы уже знакомились с прилагательными в положительной степени (gradus positivus). Кроме нее, от большинства прилагательных образуются сравнительная степень (gradus comparativus) и превосходная (gradus superlativus).

При образовании сравнительной степени к основе мужского рода прибавляется суффикс -τερος, -τέρα, -τερον. Например, от прилагательного δίκαιος, δικαία, δίκαιον *справедливый, ая, ое* (основа δικαιο-) сравнительная степень – δικαιότερος, δικαιοτέρα, δικαιότερον *более справедливый, ая, ое*, от прилагательного μέλας *черный* (основа μελαν-) – μελάντερος, μελαντέρα, μελάντερον *более черный, ая, ое*, от прилагательного σαφής, σαφές *ясный* (основа σαφες-) – σαφέστερος, σαφεστέρα, σαφέστερον *более ясный, ая, ое*, от прилагательного γλυκύς, γλυκεῖα, γλυκύ *сладкий* – γλυκύτερος, γλυκυτέρα, γλυκύτερον *более сладкий, ая, ое*.

При образовании превосходной степени используется суффикс -τατος, -τάτη, -τατον: δικαιότατος, δικαιοτάτη, δικαιότατον *самый справедливый, ая, ое*, μελάντατος, μελαντάτη, μελάντατον *самый черный, ая, ое*, σαφέστατος, σαφεστάτη, σαφέστατον *самый ясный, ая, ое*, γλυκύτατος, γλυκυτάτη, γλυκύτατον *самый сладкий, ая, ое*.

У прилагательных с основой на -ο- конечный гласный основы удлиняется в -ω-, если предыдущий слог краток (σοφός *мудрый* – σοφώτερος – σοφώτατος, ἄξιος *ценный* – ἀξιώτερος –

ἀξιώτατος, πλούσιος *богатый* – πλουσιώτερος – πλουσιώτατος), если же этот слог долог (по природе или по положению), -ο- не удлиняется (δεινός *ужасный* – δεινότερος – δεινότατος, ἔντῑμος *почтенный* – ἐντῑμότερος – ἐντῑμότατος, πικρός *горький* – πικρότερος – πικρότατος).

Прилагательные III склонения с основой на -ον- по аналогии с прилагательными, имеющими основу на -εσ- образуют сравнительную степень прибавлением к основе суффикса -έστερος, -εστέρᾱ, -έστερον, а превосходную – прибавлением суффикса -έστατος, -εστάτη, -έστατον: εὐδαίμων *счастливый* – εὐδαιμονέστερος – εὐδαιμονέστατος.

Все прилагательные с указанными суффиксами сравнительной и превосходной степеней изменяются по I – II склонениям в зависимости от рода, причем в формах женского рода ударение падает на суффиксы из-за долготы гласных ᾱ и η в окончаниях: -τερος, -τέρα, -τερον, -τατος, -τάτη, -τατον.

Превосходная степень прилагательных может употребляться в двух смыслах: в смысле наивысшей степени качества (собственно gradus superlativus: ὁ πλουσιώτατος πάντων τῶν πολιτῶν *самый богатый из всех граждан*) и в смысле очень высокой степени качества (gradus elativus: ὁ πλουσιώτατος πολίτης *очень богатый гражданин*).

Наречия

В уроке 11 уже рассматривалось образование наречий в положительной степени, производных от прилагательных I – II склонений, с помощью конечного элемента -ως. Так же образуются и наречия, производные от прилагательных III склонения: ταχύς *быстрый* – ταχέως *быстро*, σαφής *ясный* – σαφῶς *ясно*, σώφρων *разумный* – σωφρόνως *разумно*, πᾶς *весь* – πάντως *всячески*, χαρίεις *приятный* – χαριέντως *приятно*.

В значении сравнительной степени наречия употребляется винительный падеж единственного числа среднего рода прилагательного в сравнительной степени, а в значении превосходной степени наречия – винительный падеж множественного числа среднего рода прилагательного в превосходной степени:

σοφῶς *мудро* – σοφότερον – σοφότατα; δικαίως *справедливо* – δικαιότερον – δικαιότατα; ἁπλῶς *просто* – ἁπλότερον – ἁπλότατα; εὐδαιμόνως *счастливо* – εὐδαιμονέστερον – εὐδαιμονέστατα.

Глагол εἰμί

Некоторые формы глагола εἰμί *быть* уже указывались выше (см., например, урок 2, 9). В данном уроке представим формы этого глагола в целом.

	Praesens				Imperfectum
	Ind.	Coni.	Opt.	Imper.	Ind.
Sing. 1	εἰμί	ὦ	εἴην		ἦ, ἦν
2	εἶ	ᾖς	εἴης	ἴσθι	ἦσθα
3	ἐστί(ν)	ᾖ	εἴη	ἔστω	ἦν
Pl. 1	ἐσμέν	ὦμεν	εἶμεν		ἦμεν
2	ἐστέ	ἦτε	εἶτε	ἔστε	ἦτε, ἦστε
3	εἰσί(ν)	ὦσι(ν)	εἶεν	ἔστων, ὄντων	ἦσαν

Формы этого глагола в индикативе настоящего времени (кроме εἶ) – энклитики, если они употребляются в значении связки.

Infinitivus – εἶναι.

Participium – ὤν, οὖσα, ὄν; gen. sg. – ὄντος, οὔσης, ὄντος.

Futurum				
	Indicativus	Optativus	Infinitivus	Participium
Sing.1	ἔσομαι	ἐσοίμην	ἔσεσθαι	ἐσόμενος ἐσομένη ἐσόμενον
2	ἔσῃ, ἔσει	ἔσοιο		
3	ἔσται	ἔσοιτο		
Plur. 1	ἐσόμεθα	ἐσοίμεθα		
2	ἔσεσθε	ἔσοισθε		
3	ἔσονται	ἔσοιντο		

Синтаксис

1. При сравнительной степени прилагательных и наречий употребляется либо союз ἤ *чем* с именительным или вини-

тельным падежом, либо, как и в русском языке, родительный падеж сравнения (**genetivus comparationis**): μηδὲν τοῖς πολίταις ἐλευθερίας τιμώτερόν ἐστιν = μηδὲν τοῖς πολίταις τιμώτερόν ἐστιν ἢ ἐλευθερία – *ничего нет для граждан дороже свободы = ничего нет для граждан дороже, чем свобода.* В латинском языке ему соответствует ablativus comparationis.

Родительный падеж сравнения может ставиться и при глаголах, несущих в себе смысл сравнения: *превосходить кого-либо, быть ниже кого-либо, властвовать над кем-то,* как, например, при глаголе **κρατέω** *быть сильнее кого-либо, властвовать над кем-то*: Πελοποννήσου πάσης ὁ Πέλοψ ἐκράτησεν *над всем Пелопоннесом властвовал Пелопс.*

2. Превосходная степень прилагательных и наречий может усиливаться частицами, например, частицей ὡς: ὡς ἁπλότατα *как только можно просто,* ὡς δικαιότατα *как можно более справедливо.*

Возвышение Афин

Ἐν τοῖς παλαιοτέροις χρόνοις ἄλλαι μὲν πόλεις, ὥσπερ Μίλητος καὶ Κόρινθος, πλουσιώτεραι καὶ ἐνδοξότεραι ἦσαν ἢ αἱ Ἀθῆναι. Ἡ δὲ τῶν Λακεδαιμονίων πολιτεία ἦν πολεμικωτέρα καὶ ἰσχυροτέρα τῆς τῶν Ἀθηναίων πολιτείας. Ὁ οὖν Πεισίστρατος τῆς ἀρχῆς κρατήσας ἔσπευσε παντὶ τρόπῳ, ὅπως ἡ μὲν τυραννὶς πᾶσι τοῖς πολίταις γλυκυτέρα καὶ φιλτέρα, τὸ δὲ ἄστυ καὶ ξένοις καὶ ἐνοίκοις ὡς λαμπρότατον φαίνηται. Διὰ τοῦτο τοῖς πένησι γεωργοῖς ἐβοήθησεν· τὸν δὲ Ἀττικὸν οἶνον καὶ τὸ ἔλαιον οἱ ἔμποροι μακροτέρους πλοῦς ποιησάμενοι ἐκόμισαν εἰς τὸν Πόντον καὶ τὴν Αἴγυπτον καὶ τὴν Ἰταλίαν. Οἱ δὲ τεχνῖται σπουδαιότερον ἐργάζεσθαι ἤρξαντο, ὅτε ὁ Πεισίστρατος τὸ ἄστυ μεγαλοπρεπέστατα κοσμῆσαι ἐβουλεύσατο.

Ἐποίησε γὰρ ὑδραγώγιον, ἵνα τοῖς πολίταις ὡς καθαρώτατον ὕδωρ παρέχῃ, καὶ νέαν καὶ εὐρυτέραν ἀγοράν. Ὠικοδόμησε δὲ μέγαν Διὸς ναόν, ἐν δὲ τῇ ἀκροπόλει προπύλαια, ὅπως οἱ εἰσερχόμενοι ὡς καλλίστην θέαν ἔχωσιν, καὶ τῷ ἀρχαίῳ Παρθενῶνι στοὰν ποικίλην περιβάλλεσθαι ἐκέλευσεν. Ταῖς δὲ τῆς Ἀθηνᾶς ἑορταῖς, Παναθηναίοις τὸ ὄνομα, προσέβαλεν ἀγῶνας μου-

σικοὺς καὶ γυμνικούς. Τὰ δὲ μεγάλα Διονύσια αὐτὸς τὸ πρῶτον κατεσκεύασεν, καὶ ἥδε ἡ ἑορτὴ εὐκλεεστέρα ἐγένετο τῶν ἄλλων. Διονυσίοις γὰρ οἱ ἐνδοξότατοι ποιηταὶ τραγῳδίας ἐδίδασκον, τὴν δὲ πρώτην Θέσπις. Οὕτω Πεισίστρατος τοὺς μὲν Ἀθηναίους εὐδαιμονεστέρους ποιήσειν ἤλπιζεν, τὴν δὲ τυραννίδα ἀσφαλεστέραν.

Сентенции

1. Νόμιζε μηδὲν μητρὸς εὐμενέστερον. 2. Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον. 3. Λευκότερον χιόνος, μελάντερον πίττης, γλυκύτερον μέλιτος. 4. Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος.

Лексика

πολεμικός, ή, όν военный, воинственный
κρατέω быть сильнейшим, править
γλυκύς, εῖα, ύ сладкий, приятный
βοηθέω помогать
σπουδαῖος, ᾱ, ον усердный
μεγαλοπρεπής, ές великолепный
καθαρός, ά, όν чистый
οἰκοδομέω возводить
ἄκρος, α, ον высокий, высший, лучший
ἡ ἀκρόπολις, εως кремль, крепость, акрополь
ἡ πύλη, ης ворота (*обычно pl.*) (*ср. Фермопилы*)
τὰ Προπύλαια, ων Пропилеи
ὁ Παρθενών, ῶνος Парфенон
ἡ στοά, ᾶς портик, Стоя (*ср. стоик*)
περιβάλλω набрасывать, налагать
τὰ Παναθήναια, ων Панафинеи
προσβάλλω набрасывать; нападать; прикидывать
ἡ τραγῳδία, ας трагедия
εἰμί (энкл.), inf. εἶναι быть
ἡ χιών, όνος снег
εὐμενής, ές благосклонный
εὐτυχής, ές удачливый
λευκός, ή, όν белый
τὸ μέλι, μέλιτος мед
ἡ πίττα, ης смола
τίμιος, ία, ιον почетный
τὸ ἔλαιον, ου оливковое масло
τὸ ὑδραγώγιον, ου акведук, водопровод
διδάσκω учить, преподавать; ставить драму

Из Нового Завета

...ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου... (Лк. 3, 16)

...τὸ μωρὸν τοῦ θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶν καὶ τὸ ἀσθενὲς τοῦ θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων. (1 Кор. 1, 25)